θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.
Χο. πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις.
φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν
κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι.
Δα. ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος. 210
Χο. θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν. 208
Δα. μή νυν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος. 207
Χο. ὦ Ζεῦ, κόπων οἴκτιρε μἀπολωλότας. 209
Δα. κείνου θέλοντος εὖ τελευτήσει τάδε.
καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε,
Χο. καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους.
Δα. ἁγνόν τ' Ἀπόλλω, φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
Χο. εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς.
Δα. συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.
Χο. τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;
Δα. ὁρῶ τρίαιναν τήνδε σημεῖον θεοῦ.
Χο. ἀλλ' εὖ τ' ἔπεμψεν εὖ τε δεξάσθω χθονί.
Δα. Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
Χο. ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
Δα. πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ'· ἐν ἁγνῷ δ' ἑσμὸς ὣς πελειάδων
ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβῳ,
ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα
ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ 'ν Ἅιδου θανὼν